# ΕἸΣ ΤῸ ΑὙΤΌ.

Δείματο ὑψηλόεν κινυτῆς τόδε δῶ πραπίδεσσι
νῦν Δημήτριος ἧς ὃς Γκίκας ἐςι γένος.

## ἌΛΛΟ.

Σύμβολον εὐρύθμου ὑπερώϊον αἰπὺ τόδ' αἴγλης
δείματ' ἀγακλειτῶν Βραγκοβανων ὁ γόνος
Νικόλεως, ὄρχοιν μεσσηγὺ δυοῖν πανομοίοιν
τοῦτ' ἀνόμοιον θεὶς, ἀγλαΐην δ' ἴκελον.
ἐν δέ σφιν τόδ' ἄρηρε παναίολον οἷα περ ὄρνιν
εἰν ἀμπεπταμένοιν ἀνθοφυοῖν πτερύγοιν.
ὃς μάλ' ἀριπρεπέως πλεῖς' ἀγλαὰ δώματα τεῦξεν,
ἥρμοσε δ' ἐν τούτῳ ῥυθμὸν ἐπ' ἀγλαΐῃ.

## ἌΛΛΟ.

Σχῆμα βλέπων ὕψος τε τοῦδε τοῦ δόμου,
εὐρυθμίαν τε, καλλονήν τε καὶ θέαν,
δομήτορος θαύμαζε τὴν ἐμπειρίαν
ἣν πρὸς τάδ' ἴσχει, τήν τε φιλοκαλίαν·
ὃς ἐςὶ ταξίωμα Βόρνικος μέγας,
κλῆσιν γ' Ἰωάννης δὲ, Μυρέζης γένος.

ἌΛ-